Τυφῶνος πολυπλοκώτερον, Τυφὼν ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ Διός

Τυφῶνος πολυπλοκώτερον, Τυφὼν ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ Διὸς τοῦ ποικιλώτερον. Τυφὼς ὁ κατὰ θάλατταν ὑφ' οὗ τὰ πλοῖα φθείρεται. Τυχηρέστερον, εὐτυχέστερον, Τυχηρῶς, ἐπιτυχῶς. Τύχην ἁπλῶς τὴν ἀγαθὴν τύχην καλοῦσι. Τύψαι ἐκ χειρὸς πατάξαι. Τύψον. τύψον. Τῷ χωρὶς τοῦ ι ἀντὶ τοῦ διό, καὶ δοτικῶς ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ καὶ οὐδετέρου. Τῷ περισπωμένως διὸ καὶ ὅλως ἄνευ τοῦ ι. Τωθάζει, σκώπτει χλευάζει λοιδορεῖ καυχᾶται. Τῶν γὰρ ὑπάτων χάρις. Τῶν ὄντων οὐ μοὶ μέλει τῶν δυνατῶν τι κελεύου γὰρ παρακινδυνεύρεις. Τῶν ἰκτικῶν τῶν περὶ ἕξιν νοσούντων. Τῶν ἐπὶ σκηνῆς τῶν θεατρικῶς. Τῶν τριῶν κακῶν ἓν λεγόμενόν τι ἐστί. καὶ Μένανδρος δύο προθεὶς ὡς παροιμιῶδες ἐπιλέγει παίζων, τὸ ἓν γάρ τι τούτων τῶν τριῶν ἔχει κακόν. Ταῦτα δὲ εἶναι λέγουσιν ἃ Θηραμένης ὥρισεν προστιμήματα πολύτιμος δημοτευτέρω. Τριῶν κακῶν ἓν ἢν ἑλέσθαι αὐτῷ τι πᾶσα ἀνάγκη ἢ ξύλον ἐφέλκειν ἢ πιεῖν κώνειον ἢ προδοῦναι τὴν ναῦν ὅπως τάχιστα τῶν κακῶν ἀπαλλαγῇ. Ταῦτ' ἐστι τρία Θηραμένους ἃ σοὶ φυλάκτ' ἐστιν. Ἀριστοφάνης Τριφάλητι ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτί. Τῷ ἄρα, διὸ δή.

Υ

Ὑάδες οἱ ἐπὶ τῶν κεράτων τοῦ ταύρου ἀστέρες. Ὑακίνθιον, ὑπομελανίζον, πορφυρίζον. Ὑάλη ὕαλος. Ὑάλιος πολέμιος. Ὑακινθίδες θυγατέρες Ὑακίνθου τοῦ βασιλέως. Ὑάλινα ἀντὶ τοῦ ὕαλα. Ὕαλος διὰ τοῦ α ἔχει ὕελος. καὶ θηλυκῶς ἡ ὕαλος καὶ ὑάλιον. Ἀριστοφάνης Ἀχαρνεῦσιν ἐξ ὑαλίνων ποτηρίων καὶ χρυσίδων. πάντα δὲ τὰ τοιαῦτα διὰ τοῦ α λέγεται. Ὑβάδαι δῆμος ἐστὶ τῆς Λεοντίδος. Ὕβος κυρτός. Ὑβριστοδίκαι οἱ ἐπὶ τῶν μὴ θελόντων εἰσάγειν τὰς δίκας. Ὕβρις ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας καὶ αἰκίας. Αἰκία δὲ πληγαὶ μόνον. Λυσίας ἐν τῷ περὶ αἰκίας πρὸς Ἰσοκράτην. καίτοι τίς οὐκ οἶδεν ὑμῶν ὅτι τὴν μὲν αἰκίαν χρημάτων ἔστι μόνον τιμῆσαι τοὺς δὲ ὑβρίζειν δόξαντας ἔξεστιν ὑμῖν θανάτῳ τιμᾶν. Ὑγεία Ἀθηνᾶ, ἐπώνυμον ἐστι Ἀθηνᾶς. καὶ γὰρ Ὑγεία καλεῖται καὶ νίκη καὶ Ἐπιτία καὶ Ἐργάνη. Ὑγιειαν καλοῦσιν Ἀττικοὶ τὰ πεφυραμένα οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα καὶ ...... ὅτι ἐξ ἱεροῦ φέρει οἷον θαλλόν τινα ἢ ἄλφιτα. Ὑγιέστερος ὄμφακος παροιμία ὥσπερ καὶ ὑγιέστερος κρότωνος. Πολλοὶ γὰρ Κροτωνιᾶται ἀσκηταί. καὶ ὑγιέστερος κολοκύντης. Ὑγρὰ κέλευθα τὴν διὰ θαλάσσης ὁδόν. Ὑγρὸς ὁ εὐκατάφορος εἰς τὰς ἡδονὰς ἐμαλιζόμενος. Ὑγρότης ἀραιότης καὶ ὠφέλεια. Ὑδατίδες σαγόνες. Ὑδρεῶν ὑδρωπιῶν. Ὕδραν τέμνειν ἐπὶ τῶν ἀμηχάνων λέγεται. Ἱστορεῖται γὰρ ὕδρα τῇ ἐν Λέρνῃ ἑκατογκέφαλος τυγχάνουσα μαχόμενον Ἡρακλέα ὡς τῶν τεμνομένων αὐτῆς κεφαλῶν ἀνεφύοντο πλείους κελεῦσαι Ἰολάῳ ἐπικάειν τὰς τεμνομένας. Ὑδρεύουσιν. πολίζειν. Ὑδηλοὶ κάθυγροι. Ὑδριαφόροι ὥσπερ σκαφηφόροι οἱ μέτοικοι. Ὕδρου ὄφεως. Ὑδροφορία ἑορτὴ πένθιμος Ἀθήνησι ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολωμένοις ὡς Ἀπολλώνιος. Ὕδωρ αὐτοπαγὲς τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς ἢ αὐτομάτας πηγὰς ἔχον. Ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος οἱ μὲν Ἀσκληπιάδου οἱ δὲ Θεαιτήτου φασί. Ὕδωρ παρέρει, ἐπὶ τῶν ἐπαγγελλομένων πάντι σθένει σπουδάζειν ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων γε ἔβρεχε. Ὑικὸν οὐς ἴδιον. Χοίρου ἔργον. Λέγεται τὸν Σωκράτην ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου εἰπεῖν ὅτι ὑικὸν αὐτῷ δοκεῖ ἢ πάσχειν ὁ Κριτίας ἐπιθυμῶν Εὐθυδήμῳ προσκνῆσθαι ὥσπερ τὰ ὕδια τοῖς λίθοις. Ξενοφῶν φησι ὑηνῶν θρεμμάτων. καὶ ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον ἀλλ' ὑηνῶν τινων μᾶλλον εἶναι θρεμμάτων. Πλάτων Νόμων .... ὑηνοὶ οἷς δὲ δὴ καὶ κοινοῦ κεφάλου λέγων οὐ μόνον αὐτοὺς ὑηνεῖς ἀλλὰ καὶ τοὺς ἀκούοντας τοῦτο δρᾶν πρὸς τὰ συγγράμματά μου ἀναπείθεις οὐ καλῶς ποιῶν. Πλάτων Θεαιτήτῳ. Ὕιον χοίρειον. Ὕης, ἐπίθετον Διονύσου ὡς Κλείδημος ἐπειδή φησι ἐπιτελοῦμεν τὰς θυσίας αὐτῷ καθ' ὃν ὁ θεὸς ... χρόνον. Ὁ δὲ Φερεκύδης τὴν Σεμέλην ὕειν λέγεσθαι, καὶ τὰς τοῦ Διονύσου τροφοὺς ὑάδας. Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν ὕειν. Ὑηνεῖς ὑικόν τι καὶ ζῷον δὲ ποιεῖς. Ὑηνῶν, σκαιῶν καὶ ἀμαθῶν. καὶ ὑηνία, σκαιότης καὶ ἀμαθία οὕτως. Καλλίας Ὕης τοῦ Σαβαζίου ἡ ἐπίκλησις. Ὕθλος, φλυαρία ἢ μωρία. Υἱωνὸς ὁ τοῦ υἱοῦ υἱός. Υἱῶσαι τὸν παῖδα υἱὸν ποιῆσαι αὐτὸν θετόν. καὶ υἱῶσαι τῇ υἱοθεσίᾳ. καὶ υἱώσατο ἀντὶ τοῦ υἱὸν θετὸν ἐποιήσατο. καὶ τὰς υἱώσεις καὶ τὰς υἱοθεσίας, ἡ χρῆσις παρὰ Αἰλιανῷ πολλή. Ὑλακόμωροι ὑλακτικοὶ οἱ περὶ τὸ ὑλακτεῖν πονούμενοι. Ὕλαν κραγάζειν, ἱστοροῦσιν Ὕλαν τὸν Θειοδάμαντος καλὸν τὴν ὥραν ἐρώμενον Ἡρακλέους ὅτε συνέπλει τοῖς Ἀργοναύταις. γενόμενον δὲ κατὰ Μυσίαν ἐξελθεῖν ὑδρευσόμενον ὑπὸ νυμφῶν δὲ ἀφανισθῆναι. τοῦ δὲ ἐπὶ ζήτησιν Πολύφημον πεμφθέντα κεκραγέναι καὶ ὀνόματι ἀνακαλεῖν τὸν Ὕλαν μηδὲν περαίνοντα. Διὸ καὶ τὴν παροιμίαν, ἐπὶ τῶν μηδὲν ἀνυόντων λέγεσθαι. καὶ νῦν δὲ Κιανοὺς ἔτι ἀπομίμημα τῆς ζητήσεως ποιουμένους ἑορτάζειν τῷ ἥρωι. Ὕλας ὄνομα οἰκέτου βαρβάρου. Ὑλάσεια καὶ Ὑλαζόμενοι οἱ ξύλα συλλέγοντες. καὶ Ὑλοφόροι καὶ ξυλοφόροι. Ὕλην, τὸ ἀθίζον τοῦ οἴνου ἢ τοῦ ὕδατος. οὕτως Ἀριστοφάνης ὑλήεσσα συνδένδρος. Ὑμεῖς, ὦ Μεγαρεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι, ~~[illegible]~~ χρησμοῦ. Κομμάτιόν ἐστι παροιμιαζόμενον οὕτως. Ἵππον Θεσσαλικήν, Λακεδαιμονίην τε γυναῖκα, Ἄνδρας δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης, ἀλλ' ἔτι καὶ τῶν εἰσιν ἀμείνονες οἵτε μεσηγὺ Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου. Ἀργεῖοι λινοθώρηκες κέντρα πολέμοιο. Ὑμεῖς δ' Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ. Ἱστορεῖ δὲ Μνασέας ὅτι Αἰγιεῖς οἱ ἐν Ἀχαΐᾳ καταναυμαχήσαντες Αἰτωλοὺς καὶ λαβόντες πεντηκόντορον αὐτῶν δεκάτην Πυθοῖ ἀνατιθέντες ἠρώτων τίνες κρείττονες εἶεν τῶν Ἑλλήνων. Ἡ δὲ Πυθία ἔχρησεν αὐτοῖς τὰ προκείμενα. καὶ Ἴων δὲ Αἰγιεῦσι δοθῆναι τὸν χρησμὸν ἱστορεῖ. Τινὲς δὲ οἴονται Μεγαρεῦσιν λέγεσθαι αὐτόν. καὶ προφέρονται. Ὑμεῖς δ' ὦ Μεγαρεῖς οὔτε τρίτοι, οὔτε τέταρτοι ὡς καὶ Καλλίμαχος ἐπὶ τοῖς